# Ἀπολλωνία. Ἀγχιάλη.

Θυνιάς. Βιζώνη. Κρουνοί, Ὀδησσός, Ναύλοχος, Πίριζις. Λυσίμαχος. Κυάνεαι

278

«Ἔστι δ' οὖν ἀπὸ τοῦ ἱεροῦ στόματος τοῦ Ἴστρου ἐν δεξιᾷ ἔχουσι τὴν συνεχῆ παραλίαν Ἴστρος πολίχνιον ἐν πεντακοσίοις σταδίοις Μιλησίων κτίσμα· εἶτα Τόμις, ἕτερον πολίχνιον ἐν διακοσίοις πεντήκοντα σταδίοις· εἶτα πόλις Κάλλατις ἐν διακοσίοις ὀγδοήκοντα, Ἡρακλεωτῶν ἄποικος· εἶτ' Ἀπολλωνία ἐν χιλίοις τριακοσίοις σταδίοις, ἄποικος Μιλησίων, τὸ πλέον τῆς κτίσεως ἱδρυμένον ἔχουσα ἐν νησίῳ τινί, [ὅπου] ἱερὸν τοῦ Ἀπόλλωνος, ἐξ οὗ Μάρκος Λεύκολλος τὸν κολοσσὸν ἦρε καὶ ἀνέθηκεν ἐν τῷ Καπετωλίῳ τὸν τοῦ Ἀπόλλωνος, Καλάμιδος ἔργον. ἐν τῷ μεταξὺ δὲ διαστήματι τῷ ἀπὸ Καλλάτιδος εἰς Ἀπολλωνίαν Βιζώνη τέ ἐστιν, ἧς κατεπόθη πολὺ μέρος ὑπὸ σεισμῶν, καὶ Κρουνοὶ καὶ Ὀδησσὸς Μιλησίων ἄποικος, καὶ Ναύλοχος Μεσημβριανῶν πολίχνιον· εἶτα τὸ Αἷμον ὄρος μέχρι τῆς δεῦρο θαλάττης διῆκον· εἶτα Μεσημβρία
- - - - - - - εἶτ' Ἀγχιάλη πολίχνιον Ἀπολλωνιατῶν καὶ αὐτὴ Ἀπολλωνία. ἐν δὲ ταύτῃ τῇ παραλίᾳ Πίριζις ἄκρα χωρίον ἐρυμνόν, ᾧ ποτε καὶ Λυσίμαχος ἐχρήσατο γαζοφυλακίῳ. πάλιν δ' ἀπὸ τῆς Ἀπολλωνίας ἐπὶ Κυανέας στάδιοί εἰσι περὶ χιλίους καὶ πεντακοσίους, ἐν δὲ τῷ μεταξὺ ἥ τε Θυνιὰς τῶν Ἀπολλωνιατῶν χώρα καὶ Φινόπολις καὶ Ἀνδριάκη συνάπτουσαι τῷ Σαλμυδησσῷ.»

Στρ. Ζ. 319.

# Ἀπολλωνία. Αἵμου ἄκρα



« Εἶτα πόλις Κάλατις ἀπὸ σπ' σταδίων, Ἡρακλεωτῶν ἀποίκια. εἶτα πόλις Ἀπολλωνία, ἀπὸ ατ' Καλάτιδος σταδίων, ἀποίκια Μιλησίων. ἐν δὲ τῷ μεταξὺ Ἀπολλωνίας καὶ Καλάτιδος, Ὀδησσὸς γῆν. εἶτα τὰ τοῦ Αἵμου ὄρους ἀνατολικὰ ἄκρα, ἀρχόμενα ἀπὸ τῶν ἐξοχῶν. εἶτα Μεσημβρία Μεγαρέων ἀποίκια, εἶτα Ἀγχιάλη πόλις. εἶτα Ἀπολλωνία. πλὴν δ' ἀπὸ τῆς Ἀπολλωνίας ἐπὶ Κυανέας, στάδιοι εἰσιν αφ'. » Στράβων. Ζ.